[βοηλάτην μύωπα κινητήριον.]
Χο. οἶστρον καλοῦσιν αὐτὸν οἱ Νείλου πέλας.
Βα. τῇ γάρ νιν ἐκ γῆς ἤλασεν μακρῷ δρόμῳ;
Χο. καὶ μὴν Κάνωβον κἀπὶ Μέμφιν ἵκετο.
Βα. καὶ ταῦτ᾽ ἔλεξας πάντα συγκόλλως ἐμοί.
Χο. καὶ Ζεύς γ᾽ ἐφάπτωρ χειρὶ φιτύει γόνον.
Βα. τίς οὖν ὁ Δῖος πόρτις εὔχεται βοός;
Χο. Ἔπαφος, ἀληθῶς ῥυσίων ἐπώνυμος.
Βα. ⟨Ἐπάφου δὲ τίς . . .⟩
Χο. Λιβύη, μέγιστον γῆς ⟨πέδον⟩ καρπουμένη.
Βα. τίν᾽ οὖν ἔτ᾽ ἄλλον τῆσδε βλαστημὸν λέγεις;
Χο. Βῆλον δίπαιδα, πατέρα τοῦδ᾽ ἐμοῦ πατρός.
Βα. τὸ πάνσοφον νῦν ὄνομα τούτου μοι φράσον.
Χο. Δαναός, ἀδελφὸς δ᾽ ἐστὶ πεντηκοντάπαις.
Βα. καὶ τοῦδ᾽ ἄνοιγε τοὔνομ᾽ ἀφθόνῳ λόγῳ.
Χο. Αἴγυπτος. εἰδὼς δ᾽ ἁμὸν ἀρχαῖον γένος
πράσσοις ἄν, ὡς Ἀργεῖον ἀνστήσας στόλον.
Βα. δοκεῖτε ⟨μέν⟩ μοι τῆσδε κοινωνεῖν χθονὸς
τἀρχαῖον· ἀλλὰ πῶς πατρῷα δώματα
λιπεῖν ἔτλητε; τίς κατέσκηψεν τύχη;
Χο. ἄναξ Πελασγῶν, αἰόλ᾽ ἀνθρώπων κακά.
πόνου δ᾽ ἴδοις ἂν οὐδαμοῦ ταὐτὸν πτερόν·
ἐπεὶ τίς ηὔχει τήνδ᾽ ἀνέλπιστον φυγὴν
κέλσειν ἐς Ἄργος κῆδος ἐγγενὲς τὸ πρίν,